50 βαλεῖν ἕκαστον ἐν ᾧ ἐστιν τόπῳ· 50 καὶ παρενέβαλον οἱ ἄνδρες
τῆς δυνάμεως, καὶ ἐπολέμησεν τὴν πόλιν ὅλην τὴν ἡμέραν ἐκείνην
51 καὶ ὅλην τὴν νύκτα, καὶ παρεδόθη ἡ πόλις ἐν χειρὶ αὐτοῦ. 51 καὶ
ἀπώλεσεν πᾶν ἀρσενικὸν ἐν στόματι ῥομφαίας καὶ ἐξερρίζωσεν
αὐτὴν καὶ ἔλαβεν τὰ σκῦλα αὐτῆς καὶ διῆλθεν διὰ τῆς πόλεως
52 ἐπάνω τῶν ἀπεκταμμένων. 52 καὶ διέβησαν τὸν Ιορδάνην εἰς τὸ
53 πεδίον τὸ μέγα κατὰ πρόσωπον Βαιθσαν. 53 καὶ ἦν Ιουδας ἐπι-
συνάγων τοὺς ἐσχατίζοντας καὶ παρακαλῶν τὸν λαὸν κατὰ πᾶσαν
54 τὴν ὁδόν, ἕως ἦλθεν εἰς γῆν Ιουδα. 54 καὶ ἀνέβησαν εἰς ὄρος Σιων
ἐν εὐφροσύνῃ καὶ χαρᾷ καὶ προσήγαγον ὁλοκαυτώματα, ὅτι οὐκ
ἔπεσεν ἐξ αὐτῶν οὐθεὶς ἕως τοῦ ἐπιστρέψαι ἐν εἰρήνῃ.
55 55 Καὶ ἐν ταῖς ἡμέραις, ἐν αἷς ἦν Ιουδας καὶ Ιωναθαν ἐν γῇ
Γαλααδ καὶ Σιμων ὁ ἀδελφὸς αὐτοῦ ἐν τῇ Γαλιλαίᾳ κατὰ πρόσ-
56 ωπον Πτολεμαίδος, 56 ἤκουσεν Ιωσηφ ὁ τοῦ Ζαχαριου καὶ Αζαριας
ἄρχοντες τῆς δυνάμεως τῶν ἀνδραγαθιῶν καὶ τοῦ πολέμου, οἷα
57 ἐποίησαν, 57 καὶ εἶπον Ποιήσωμεν καὶ αὐτοὶ ἑαυτοῖς ὄνομα καὶ
58 πορευθῶμεν πολεμῆσαι πρὸς τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν. 58 καὶ παρήγ-
γειλεν τοῖς ἀπὸ τῆς δυνάμεως τῆς μετ᾽ αὐτῶν, καὶ ἐπορεύθησαν
59 ἐπὶ Ιάμνειαν. 59 καὶ ἐξῆλθεν Γοργίας ἐκ τῆς πόλεως καὶ οἱ ἄνδρες
60 αὐτοῦ εἰς συνάντησιν αὐτοῖς εἰς πόλεμον. 60 καὶ ἐτροπώθη Ιωσηπος
καὶ Αζαριας, καὶ ἐδιώχθησαν ἕως τῶν ὁρίων τῆς Ιουδαίας, καὶ
ἔπεσον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ τοῦ λαοῦ Ισραηλ εἰς δισχιλίους
61 ἄνδρας. 61 καὶ ἐγενήθη τροπὴ μεγάλη ἐν τῷ λαῷ, ὅτι οὐκ ἤκουσαν
62 Ιουδου καὶ τῶν ἀδελφῶν αὐτοῦ οἰόμενοι ἀνδραγαθῆσαι· 62 αὐτοὶ
δὲ οὐκ ἦσαν ἐκ τοῦ σπέρματος τῶν ἀνδρῶν ἐκείνων, οἷς ἐδόθη
σωτηρία Ισραηλ διὰ χειρὸς αὐτῶν.
63 63 Καὶ ὁ ἀνὴρ Ιουδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐδοξάσθησαν σφόδρα
ἔναντι παντὸς Ισραηλ καὶ τῶν ἐθνῶν πάντων, οὗ ἠκούετο τὸ
64 ὄνομα αὐτῶν· 64 καὶ ἐπισυνήγοντο πρὸς αὐτοὺς εὐφημοῦντες.
65 65 καὶ ἐξῆλθεν Ιουδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ ἐπολέμουν τοὺς
υἱοὺς Ησαυ ἐν τῇ γῇ τῇ πρὸς νότον καὶ ἐπάταξεν τὴν Χεβρων
καὶ τὰς θυγατέρας αὐτῆς καὶ καθεῖλεν τὰ ὀχυρώματα αὐτῆς καὶ
66 τοὺς πύργους αὐτῆς ἐνεπύρισεν κυκλόθεν. 66 καὶ ἀπῆρεν τοῦ πο-

49 τοπω] τροπω S*† || 50 δυναμ.] πολεως A† | επολεμησεν] -σαν A pl. | χ(ε)ιρι S La†] χερσιν rel. || 51 αυτης] της πολεως A† || 54 ορος S*V†] pr. το rel. || 55 εν 2° S La†] > rel. | γη] τη A || 56 ζαχαριου] -ρια A† | αζαριας] ζαχαρ. SA† | των δυναμεων A† | ανδραγαθεσεων A† || 57 ποιησομεν A† | και 3° > S† || 58 παρηγγ(ε)ιλεν SVLa† (cf. 18)] -λαν rel. || 60 ιωσηφος S*(-φως)A: cf. 18 | ισραηλ] pr. σου A†, pr. του compl. | δισχιλιους] δισ > pau. La post εις || 61 λαω] ισραηλ S^c | ιουδου: cf. 3 25 | ανδραγαθησαι] + αυτον A†, -θησειν και αυτοι *L* || 63 εναντι S†] -τιον rel. | fin. αυτων > S*† || 65 αυτου > S*† | τη 2° > S*V† | τα οχυρωματα] το -μα A